Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν

Ἰωάννου τοῦ Χρυσοστόμου

Η ΘΕΙΑ

ΛΕΙΤΟΥΡΓΙΑ

ΤΟΥ

ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΕΝ ΡΩΜΗ

1950

Ἐγκρίσει καὶ ἀδείᾳ

τῆς Ἁγιωτάτης καὶ Ἀποστολικῆς Ἕδρας

τῆς παλαιᾶς Ῥώμης

ΔΙΑΤΑΞΙΣ

ΤΗΣ ΘΕΙΑΣ ΚΑΙ ΙΕΡΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

Μέλλων ὁ Ἱερεὺς τὴν θείαν ἐπιτελεῖν Μυσταγωγίαν, ὀφείλει προηγουμένως εἶναι κατηλλαγμένος μετὰ πάντων, καὶ μὴ ἔχειν τι κατά τινος, καὶ τὴν καρδίαν δέ, ὅση δύναμις, ἀπὸ πονηρῶν τηρῆσαι λογισμῶν, ἐγκρατεύεσθαί τε ἀφ᾿ ἑσπέρας, καὶ ἐγρηγορηκὼς διάγειν μέχρι τοῦ τῆς Ἱερουργίας καιροῦ.

Τοῦ δὲ καιροῦ ἐπιστάντος, μετὰ τὸ ποιῆσαι τὴν συνήθη τῷ Προεστῶτι μετάνοιαν, εἰσέρχεται ἐν τῷ Ναῷ, καὶ ἑνωθεὶς τῷ Διακόνῳ, ποιοῦσιν ὁμοῦ πρὸς ἀνατολὰς ἔμπροσθεν τῶν ἁγίων Θυρῶν προσκυνήματα τρία.

Εἶτα λέγει ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα.

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Βασιλεῦ οὐράνιε,* Παράκλητε,* τὸ Πνεῦμα τῆς ἀληθείας,* ὁ πανταχοῦ παρών,* καὶ τὰ πάντα πληρῶν,* ὁ θησαυρὸς τῶν ἀγαθῶν* καὶ ζωῆς

χορηγός,* ἐλθὲ* καὶ σκήνωσον ἐν ἡμῖν,* καὶ καθάρισον ἡμᾶς* ἀπὸ πάσης κηλῖδος,* καὶ σῶσον,* Ἀγαθέ,* τὰς ψυχὰς ἡμῶν.

Ὁ δὲ Διάκονος λέγει τὸ Τρισάγιον·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. **Τρίς.**

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν· Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Καὶ πάλιν· Δόξα Πατρί... ἕως τέλους. Εἶτα·

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος·

Ἀμήν.

Εἶτα λέγουσι·

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς·* πάσης

γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Κύριε ἐλέησον ἡμᾶς·* ἐπὶ σοὶ γὰρ πεποίθαμεν·* μὴ ὀργισθῇς ἡμῖν σφόδρα,* μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν·* ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος,* καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν·* σὺ γὰρ εἶ Θεὸς ἡμῶν,* καὶ ἡμεῖς λαός σου·* πάντες ἔργα χειρῶν σου,* καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σέ,* μὴ ἀστοχήσωμεν·* ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Ἔπειτα ἀπέρχονται εἰς τὴν εἰκόνα τοῦ Χριστοῦ, καὶ προσκυνοῦσι, λέγοντες·

Τὴν ἄχραντον εἰκόνα σου* προσκυνοῦμεν, Ἀγαθέ,* αἰτούμενοι συγχώρησιν* τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός·* βουλήσει γὰρ ηὐδόκησας* σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ,* ἵνα ῥύσῃ οὓς ἔπλασας* ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ·* ὅθεν εὐχαρίστως βοῶμέν σοι·* χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν,* παραγενόμενος* εἰς τὸ σῶσαι τὸν κόσμον.

Καὶ ἀσπάζονται τὴν εἰκόνα τοῦ Χριστοῦ.

Εἶτα ἀπέρχονται εἰς τὴν εἰκόνα τῆς Θεοτόκου, λέγοντες τὸ Τροπάριον·

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή,* συμπαθείας ἀξίωσον ἡμᾶς, Θεοτόκε·* βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα·* δεῖξον, ὡς ἀεί, τὴν δυναστείαν σου·* εἰς σὲ

γὰρ ἐλπίζοντες,* τὸ Χαῖρε βοῶμέν σοι,* ὥς ποτε ὁ Γαβριήλ,* ὁ τῶν ἀσωμάτων Ἀρχιστράτηγος.

Καὶ ἀσπάζονται τὴν εἰκόνα τῆς Θεοτόκου.

Εἶτα κλίνουσι τὴν κεφαλήν, καὶ λέγει ὁ Ἱερεὺς ταύτην τὴν Εὐχήν·

Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου, καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου, ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ σου βήματι, τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω. Ὅτι σοῦ ἐστιν ἡ δύναμις, καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἔπειτα ποιοῦσι ἔμπροσθεν τῶν ἁγίων Θυρῶν προσκυνήματα τρία, καὶ εἰς τοὺς Χοροὺς προσκυνήματα, ἀνὰ ἕν. Καὶ οὕτως ἀπέρχονται εἰς τὸ Θυσιαστήριον, ὁ μὲν Ἱερεὺς διὰ τοῦ βορείου, ὁ δὲ Διάκονος διὰ τοῦ νοτίου μέρους, λέγοντες·

Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς Ναὸν ἅγιόν σου ἐν φόβῳ σου.

Ἐλθόντες δὲ εἰς τὸ Ἱερατεῖον, ποιοῦσι προσκυνήματα γ΄, ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, καὶ ἀσπάζονται τὸ ἅγιον Εὐαγγέλιον, καὶ τὴν ἁγίαν Τράπεζαν.

Εἶτα λαμβάνουσι ἐν ταῖς χερσὶν αὐτῶν, ἕκαστος τὸ Στιχάριον αὐτοῦ, καὶ ποιοῦσι προσκυνήματα τρία, πρὸς ἀνατολάς, λέγοντες καθ᾽ ἑαυτὸν ἕκαστος τὸ

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Εἶτα προσέρχεται τῷ Ἱερεῖ ὁ Διάκονος, κρατῶν ἐν τῇ δεξιᾷ χειρὶ τὸ Στιχάριον σὺν τῷ Ὠραρίῳ, καὶ ὑποκλίνας τὴν ἑαυτοῦ κεφαλήν, λέγει·

Εὐλόγησον, δέσποτα, τὸ Στιχάριον σὺν τῷ Ὠραρίῳ.

Ὁ Ἱερεὺς σφραγίσας αὐτά, λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος· Ἀμήν. Καὶ ἀσπάζεται τὴν δεξιὰν τοῦ Ἱερέως. Εἶτα ὑποχωρεῖ καθ᾽ ἑαυτὸν εἰς ἓν μέρος τοῦ Ἱερατείου καὶ ἀσπασάμενος τὸ Στιχάριον, ἐνδύεται αὐτό, εὐχόμενος οὕτως·

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ.

Καὶ τὸ μὲν Ὡράριον ἀσπασάμενος, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ, μηδὲν λέγων.

Τὰ δὲ Ἐπιμανίκια ἐπιθέμενος ταῖς χερσίν, ἐν μὲν τῷ δεξιῷ, λέγει·

Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

Ἐν δὲ τῷ ἀριστερῷ·

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Εἶτα ἀπελθὼν εἰς τὴν Πρόθεσιν, εὐτρεπίζει τὰ ἱερά· τὸν μὲν ἅγιον Δίσκον τιθεὶς ἐν τῷ μέρει τῷ ἀριστερῷ, τὸ δὲ Ποτήριον ἐν τῷ δεξιῷ, καὶ τὰ ἄλλα σὺν αὐτοῖς.

Ὁ δὲ Ἱερεὺς οὕτως ἐνδύεται. Λαβὼν τὸ Στιχάριον ἐν τῇ ἀριστερᾷ χειρί, καί, ὡς εἴρηται, προσκυνήσας τρὶς κατ᾽ ἀνατολάς, σφραγίζει αὐτό, λέγων·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἐνδύεται αὐτὸ λέγων·

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα

εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ.

Εἶτα λαβὼν τὸ Ἐπιτραχήλιον, καὶ σφραγίσας καὶ ἀσπασάμενος, περιτίθεται αὐτό, λέγων·

Εὐλογητὸς ὁ Θεός, ὁ ἐκχέων τὴν χάριν ἐπὶ τοὺς Ἱερεῖς αὐτοῦ· ὡς μῦρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τοῦτο, λαβὼν τὴν Ζώνην, καὶ σφραγίσας αὐτήν, λέγει περιζωννύμενος·

Εὐλογητὸς ὁ Θεός, ὁ περιζωννύων με δύναμιν· καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὰ δὲ Ἐπιμανίκια σφραγίσας καὶ ἀσπασάμενος, ἑκάτερον ἐπιτίθησι ταῖς χερσί, λέγων, ἐν μὲν τῷ δεξιῷ·

Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

Ἐν δὲ τῷ ἀριστερῷ·

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Εἶτα λαβὼν τὸ Ὑπογονάτιον, εἴπερ ἔχει ἐκκλησιαστικὸν ἀξίωμα, καὶ εὐλογήσας καὶ ἀσπασάμενος, ἐπιτίθησιν αὐτό, λέγων·

Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν

σου, Δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου· καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε, ἕνεκεν ἀληθείας καὶ πρᾳότητος καὶ δικαιοσύνης· καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαμβάνει τὸ Φελώνιον καὶ εὐλογήσας καὶ ἀσπασάμενος, ἐνδύεται αὐτό, λέγων·

Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ ταῦτα, ἀπελθόντες εἰς τὸν Νιπτῆρα, νίπτουσι τὰς χεῖρας, λέγοντες·

Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ Θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με. Ὁ ποῦς μου ἔστη ἐν εὐθύτητι· ἐν Ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

Καὶ οὕτως ἀπέρχονται εἰς τὴν Πρόθεσιν. Εἶτα προσκυνήματα τρία, ἔμπροσθεν τῆς Προθέσεως, ποιήσαντες, λέγουσιν ἕκαστος τὸ Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἐλέησόν με.

Καὶ λέγει ὁ Ἱερεύς·

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου Αἵματι· τῷ Σταυρῷ προσηλω-

θείς, καὶ τῇ Λόγχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν, δόξα σοι.

Εἶτα λέγει ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα.

Καὶ ὁ Ἱερεὺς ποιεῖ Εὐλογητόν·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τοῦτο, λαμβάνει ὁ Ἱερεὺς ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὴν Προσφοράν, ἐν δὲ τῇ δεξιᾷ τὴν ἁγίαν Λόγχην, καὶ σφραγίζων μετ᾽ αὐτῆς τρὶς ἐπάνω τῆς σφραγῖδος τῆς Προσφορᾶς, λέγει·

Εἰς ἀνάμνησιν τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Τρίς.

Καὶ εὐθὺς πήγνυσι τὴν Λόγχην ἐν τῷ δεξιῷ μέρει τῆς σφραγῖδος, καὶ λέγει, ἀνατέμνων·

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη.

Ἐν δὲ τῷ ἀριστερῷ·

Καὶ ὡς ἀμνὸς ἄμωμος, ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

Ἐν δὲ τῷ ἄνω μέρει τῆς σφραγῖδος·

Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη.

Ἐν δὲ τῷ κάτω·

Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;

Ὁ δὲ Διάκονος, ἐνορῶν εὐλαβῶς τῇ τοιαύτῃ τελετῇ, κρατῶν καὶ τὸ Ὡράριον ἐν τῇ χειρί, λέγει καθ᾽ ἑκάστην ἀνατομήν· Τοῦ Κυρίου δεηθῶμεν.

Μετὰ ταῦτα λέγει· Ἔπαρον, δέσποτα.

Καὶ ὁ Ἱερεύς, ἐμβαλὼν τὴν ἁγίαν Λόγχην ἐκ πλαγίου τοῦ

δεξιοῦ μέρους τῆς Προσφορᾶς, ἐπαίρει τὸν ἅγιον Ἄρτον, λέγων·

Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.

Καὶ θεὶς αὐτὸν ὕπτιον ἐν τῷ ἁγίῳ Δίσκῳ, εἰπόντος τοῦ Διακόνου Θῦσον, δέσποτα, θύει αὐτὸν σταυροειδῶς, οὕτω λέγων·

Θύεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

Καὶ στρέφει τὸ ἕτερον μέρος ἐπάνω, τὸ ἔχον τὸν Σταυρόν. Καὶ τοῦ Διακόνου εἰπόντος Νύξον, δέσποτα, νύττει ἀμέσως ὑπὸ τοῦ ὀνόματος IC, λέγων·

Εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε· καὶ εὐθέως ἐξῆλθεν αἷμα, καὶ ὕδωρ· καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ.

Ὁ δὲ Διάκονος ἐγχέει τῷ ἁγίῳ Ποτηρίῳ ἐκ τοῦ νάματος ὁμοῦ καὶ τοῦ ὕδατος, εἰπὼν πρότερον πρὸς τὸν Ἱερέα·

Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν ἕνωσιν.

Καὶ εὐλογεῖ αὐτὰ ὁ Ἱερεύς, λέγων·

Εὐλογημένη ἡ ἕνωσις τῶν Ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ λαβὼν ἐν ταῖς χερσὶ τὴν δευτέραν προσφοράν, λέγει·

Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἧς ταῖς πρεσβείαις πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου Θυσιαστήριον.

Καὶ αἴρων μερίδα, τίθησιν αὐτὴν ἐν τῷ δεξιῷ μέρει τοῦ ἁγίου Ἄρτου, πλησίον τῆς μέσης αὐτοῦ, λέγων·

Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

Εἶτα λαβὼν τρίτην προσφοράν, καὶ αἴρων ἐξ αὐτῆς πρώτην μερίδα, τίθησιν αὐτὴν ἐν τῷ ἀριστερῷ μέρει τοῦ ἁγίου Ἄρτου, πλησίον τῆς μέσης αὐτοῦ, ποιῶν ἀρχὴν τῆς πρώτης τάξεως, καὶ λέγει·

Εἰς τιμὴν καὶ μνήμην τῶν παμμεγίστων Ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριήλ, καὶ πασῶν τῶν ἐπουρανίων Δυνάμεων Ἀσωμάτων.

Καὶ αἴρει δευτέραν μερίδα, λέγων·

Τοῦ τιμίου, ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων Προφητῶν, Μωσέως καὶ Ἀαρών, Ἠλιοῦ καὶ Ἐλισσαίου, Δαβὶδ τοῦ Ἰεσσαί, τῶν ἁγίων τριῶν Παίδων καὶ Δανιὴλ τοῦ Προφήτου, καὶ πάντων τῶν ἁγίων Προφητῶν.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς πρώτης εὐτάκτως.

Εἶτα αἴρων τρίτην μερίδα, λέγει·

Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων Πέτρου καὶ Παύλου, καὶ πάντων τῶν ἁγίων Ἀποστόλων.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς δευτέρας, τελειῶν τὴν πρώτην τάξιν.

Καὶ αἴρει τετάρτην μερίδα, λέγων·

Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν καὶ οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Νικολάου τοῦ ἐν Μύροις, καὶ πάντων τῶν ἁγίων Ἱεραρχῶν.

Καὶ τίθησιν αὐτὴν πλησίον τῆς πρώτης μερίδος, ποιῶν ἀρχὴν τῆς δευτέρας τάξεως.

Εἶτα αἴρων πέμπτην μερίδα, λέγει·

Τοῦ ἁγίου Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου, τῶν ἁγίων μεγάλων Μαρτύρων Δημητρίου, Γεωργίου, Θεοδώρου, καὶ πάντων καὶ πασῶν τῶν ἁγίων Μαρτύρων.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς πρώτης τῆς δευτέρας τάξεως.

Ἔπειτα αἴρει ἕκτην μερίδα, λέγων·

Τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, Ἀντωνίου, Εὐθυμίου, Σάββα, Ὀνουφρίου, Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ, καὶ πάντων καὶ πασῶν τῶν Ὁσίων.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς δευτέρας μερίδος, εἰς ἀναπλήρωσιν τῆς δευτέρας τάξεως.

Μετὰ δὲ ταῦτα, αἴρων ἑβδόμην μερίδα, λέγει·

Τῶν ἁγίων καὶ θαυματουργῶν Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, καὶ πάντων τῶν ἁγίων Ἀναργύρων.

Καὶ τίθησιν αὐτὴν ἄνω, πλησίον τῆς τετάρτης μερίδος, ποιῶν ἀρχὴν τῆς τρίτης τάξεως.

Εἶτ᾽ αὖθις αἴρει ὀγδόην μερίδα, λέγων·

Τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ Ἁγίου τῆς ἐκκλησίας ἢ τῆς μονῆς, καὶ τοῦ Ἁγίου τῆς ἡμέρας), καὶ πάντων τῶν Ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς πρώτης τῆς τρίτης τάξεως.

Καὶ τοῦτο ποιήσας, αἴρει τὴν ἐννάτην μερίδα, λέγων·

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου (εἴπερ λέγεται ἡ Λειτουργία αὐτοῦ· εἰ δὲ λέγεται ἡ τοῦ Μεγάλου Βασιλείου, τούτου μνημονεύει· Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου, ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, τοῦ Μεγάλου).

Καὶ τίθησιν αὐτὴν ἐν τῷ τέλει τῆς τρίτης τάξεως εἰς ἀναπλήρωσιν.

Εἶτα λαμβάνει ἑτέραν προσφοράν, καὶ αἴρων μερίδα, λέγει·

Μνήσθητι, Δέσποτα φιλάνθρωπε, πάσης Ἐπισκοπῆς Ὀρθοδόξων, τοῦ Πατριάρχου, (ἢ Μητροπολίτου, ἢ Ἀρχιεπισκόπου, ἢ Ἐπισκόπου) ἡμῶν τοῦ δεῖνος, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος, (ἐν τοῖς μοναστηρίοις· τοῦ δεῖνος Καθηγουμένου,) καὶ τῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν, Πρεσβυτέρων, Διακόνων, καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, οὓς προσεκαλέσω εἰς τὴν σὴν κοινωνίαν, διὰ τῆς σῆς εὐσπλαγχνίας, πανάγαθε Δέσποτα.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τοῦ ἁγίου Ἄρτου.

Εἶτα μνημονεύει καὶ ὧν ἔχει ζώντων κατ' ὄνομα, καὶ καθ' ἕκαστον ὄνομα αἴρει μερίδα, λέγων· Μνήσθητι, Κύριε, τοῦ δεῖνος. Καὶ οὕτως αἴρων τὰς μερίδας, τίθησιν αὐτὰς ὑποκάτω.

Ἔπειτα λαβὼν ἑτέραν προσφοράν, αἴρει μερίδα, λέγων·

Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν

τῶν μακαρίων κτιτόρων τῆς ἁγίας ἐκκλησίας (ἢ μονῆς) ταύτης.

Εἶτα μνημονεύει τοῦ χειροτονήσαντος αὐτὸν Ἀρχιερέως, καὶ ἑτέρων ὧν θέλει κεκοιμημένων κατ' ὄνομα. Καθ' ἕκαστον ὄνομα αἴρει μερίδα, λέγων· Μνήσθητι, Κύριε, τοῦ δεῖνος. Καὶ τελευταῖον, αἴρων μερίδα, ἐπιλέγει οὕτω·

Καὶ πάντων τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, καὶ τῇ σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων, πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε Κύριε.

Ὁ δὲ Διάκονος, λαβὼν καὶ αὐτὸς σφραγῖδα καὶ τὴν ἁγίαν Λόγχην, μνημονεύει ὧν βούλεται ζώντων καὶ τεθνεώτων.

Τελευταῖον δὲ, αἴρει ὁ Ἱερεὺς μερίδα, λέγων·

Μνήσθητι, Κύριε, καὶ τῆς ἐμῆς ἀναξιότητος· καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὁ δὲ Διάκονος, λαβὼν τὴν μοῦσαν, συστέλλει τὰς ἐν τῷ Δίσκῳ μερίδας, ὑποκάτω τοῦ ἁγίου Ἄρτου, ὥστε εἶναι ἐν ἀσφαλείᾳ, καὶ μὴ ἐκπεσεῖν τι.

Εἶτα ὁ Διάκονος, λαβὼν τὸ Θυμιατήριον, καὶ θυμίαμα βαλὼν ἐν αὐτῷ, λέγει πρὸς τὸν Ἱερέα·

Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα. Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεύς, εὐλογῶν, λέγει τὴν Εὐχὴν τοῦ θυμιάματος.

Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς· ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου Θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ θυμιάσαντος τοῦ Διακόνου τὸν Ἀστερίσκον, ὁ Ἱερεὺς τίθησιν αὐτὸν ἐπάνω τοῦ ἁγίου Ἄρτου, λέγων·

Καὶ ἐλθὼν ὁ Ἀστήρ, ἔστη ἐπάνω, οὗ ἦν τὸ Παιδίον.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν. Κάλυψον, δέσποτα.

Καὶ τοῦ Διακόνου θυμιῶντος τὸ πρῶτον Κάλυμμα, ὁ Ἱερεὺς σκεπάζει τὸν ἅγιον Ἄρτον σὺν τῷ Δίσκῳ, λέγων·

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο ὁ Κύριος δύναμιν, καὶ περιεζώσατο.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν. Κάλυψον, δέσποτα.

Καὶ τοῦ Διακόνου θυμιῶντος τὸ δεύτερον Κάλυμμα, ὁ Ἱερεὺς σκεπάζει τὸ ἅγιον Ποτήριον, λέγων·

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Χριστέ, καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν. Σκέπασον, δέσποτα.

Καὶ τοῦ Διακόνου θυμιῶντος τὸ τρίτον Κάλυμμα, ἤτοι τὸν Ἀέρα, ὁ Ἱερεὺς σκεπάζει καὶ ἀμφότερα, λέγων·

Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ᾿ ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν. Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶτα λαβὼν ὁ Ἱερεὺς τὸν Θυμιατόν, θυμιᾷ τρὶς τὴν Πρόθεσιν, λέγων·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

Ὁ δὲ Διάκονος ἐν ἑκάστῃ λέγει·

Πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἀμφότεροι προσκυνοῦσιν εὐλαβῶς τρίς.

Ἔπειτα λαβὼν ὁ Διάκονος τὸν Θυμιατόν, λέγει·

Ἐπὶ τῇ Προθέσει τῶν τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς λέγει τὴν Εὐχὴν τῆς Προθέσεως·

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον Ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας, Σωτῆρα καὶ Λυτρωτὴν καὶ Εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς· αὐτὸς εὐλόγησον τὴν Πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου Θυσιαστήριον. Μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων καὶ δι᾽ οὓς προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου Μυστηρίων.

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τοῦτο ποιεῖ Ἀπόλυσιν, λέγων·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Διάκονος·

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον, τρίς. Δέσποτα, εὐλόγησον.

Ὁ Ἱερεύς·

Εἰ μὲν ἔστι Κυριακή· Ὁ ἀναστὰς ἐκ νεκρῶν,. . .

Εἰ δὲ μή·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου, (εἰ δὲ τελεῖται ἡ Λειτουργία τοῦ Μεγάλου Βασιλείου, λέγει· τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου, Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, τοῦ Μεγάλου), καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁ Διάκονος·

Ἀμήν.

Μετὰ δὲ τὴν Ἀπόλυσιν, ὁ Διάκονος, χαράξας Σταυρόν, θυμιᾷ Πρόθεσιν. Εἶτα ἀπέρχεται καὶ θυμιᾷ τὴν ἁγίαν Τράπεζαν κύκλῳ σταυροειδῶς, λέγων καθ' ἑαυτόν·

Ἐν τάφῳ σωματικῶς,* ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς Θεός,* ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ,* καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστέ,* μετὰ Πατρὸς καὶ Πνεύματος,* πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Καὶ λέγει τὸν Ν΄ Ψαλμόν, ἐν ᾧ καὶ θυμιάσας τό τε Ἱερατεῖον, καὶ τὰς ἁγίας Εἰκόνας καὶ τὸν Ναὸν ὅλον, εἰσέρχεται αὖθις εἰς τὸ ἅγιον Βῆμα· καὶ θυμιάσας τὴν ἁγίαν Τράπεζαν αὖθις καὶ

τὸν Ἱερέα, τὸ Θυμιατήριον ἀποτίθησιν ἐν τῷ ἰδίῳ τόπῳ. Εἶτα προσέρχεται τῷ Ἱερεῖ.

Καὶ στάντες ὁμοῦ πρὸ τῆς ἁγίας Τραπέζης, προσκυνοῦσι τρίς, καθ᾿ ἑαυτοὺς εὐχόμενοι, καὶ λέγοντες·

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Εἶτα·

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Δίς.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ἅπαξ.

Εἶτα ἀσπάζονται, ὁ μὲν Ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον, ὁ δὲ Διάκονος τὴν ἁγίαν Τράπεζαν.

Καὶ μετὰ τοῦτο, ὑποκλίνας ὁ Διάκονος τὴν ἑαυτοῦ κεφαλὴν τῷ Ἱερεῖ, κρατῶν καὶ τὸ Ὡράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός, λέγει·

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ. Δέσποτα, εὐλόγησον.

Καὶ ὁ Ἱερεύς, σφραγίζων αὐτόν, λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος·

Ἀμήν. Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα.

Ὁ δὲ Ἱερεύς·

Κατευθύναι Κύριος τὰ διαβήματά σου εἰς πᾶν ἔργον ἀγαθόν.

Καὶ πάλιν ὁ Διάκονος·

Μνήσθητί μου, δέσποτα ἅγιε.

Ὁ Ἱερεύς·

Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ Διάκονος, εἰπὼν Ἀμήν, ἀσπάζεται τὴν δεξιὰν τοῦ Ἱερέως, καὶ προσκυνήσας, ἐξέρχεται διὰ τοῦ βορείου μέρους, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, κατέναντι τῶν ἁγίων Θυρῶν, προσκυνεῖ μετ' εὐλαβείας τρίς, λέγων καθ' ἑαυτόν·

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Καὶ μετὰ τοῦτο, ἄρχεται λέγειν·

Εὐλόγησον, δέσποτα.

Καὶ ἄρχεται ὁ Ἱερεύς·

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός...

Ἰστέον ὅτι ἐὰν ὁ Ἱερεὺς λειτουργῇ μόνος ἄνευ Διακόνου, ἐν τῇ Προθέσει καὶ ἐν αὐτῇ τῇ Λειτουργίᾳ, οὐκ ἐπιλέγει τὰ τοῦ Διακόνου ῥήματα, ὡς τὸ Εὐλόγησον, δέσποτα... Νύξον, δέσποτα, Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ... Μνήσθητί μου, δέσποτα, κ. τ. λ., ἀλλὰ μόνον ἐν τῇ Λειτουργίᾳ τὸ Τοῦ Κυρίου δεηθῶμεν.

Ἐὰν συλλειτουργῶσι πολλοὶ Ἱερεῖς, εἷς μὲν ἐξ αὐτῶν μόνος ποιεῖ τὴν Προσκομιδήν· ἄλλοι δὲ οὐδὲν ἐξ αὐτῆς λέγουσιν, οὐδὲ τὴν Εὐχὴν τῆς Προθέσεως· Ὁ Θεός, ὁ Θεὸς ἡμῶν...

Σημείωσαι θάτερον τοῦτο ὅτι, ἐὰν μέλλῃ λειτουργῆσαι Ἀρχιερεύς, ὁ Ἱερεὺς οὐ τελειοῖ τὴν Πρόθεσιν, ἀλλὰ μετὰ τὴν ἐξαγωγὴν τῶν μερίδων τῆς Θεοτόκου καὶ τῶν Ἁγίων, καλύπτει τὸν ἅγιον Δίσκον καὶ τὸ ἅγιον Ποτήριον μετὰ τοῦ Ἀέρος, μηδὲν λέγων. Τὰ δὲ λοιπὰ λέγει ὁ ἱερουργῶν Ἀρχιερεύς, ὃς ἀποτελειοῖ τὴν Πρόθεσιν, ψαλλομένου τοῦ Χερουβικοῦ Ὕμνου, πρὸ τῆς Μεγάλης Εἰσόδου.

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα.

Ὁ Ἱερεύς, ἐκφώνως, ὑψῶν ἅμα τὸ ἅγιον Εὐαγγέλιον, καὶ ποιῶν δι᾿ αὐτοῦ τύπον σταυροῦ·

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ὁ Διάκονος λέγει τὰ Εἰρηνικά, ψαλλόντων τῶν δύο Χορῶν ἐναλλὰξ μετὰ πᾶσαν δέησιν τὸ Κύριε, ἐλέησον.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ μακαριωτάτου Πατριάρχου, (ἢ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου) ἡμῶν τοῦ δεῖνος, τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Βασιλέως ἡμῶν (ἢ τῶν ἀρχόντων ἡμῶν), παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτοῦ (ἢ αὐτῶν), τοῦ Κυρίου δεηθῶμεν.

[Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ τοῦ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτοῦ (ἢ αὐτῶν) πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.]

Ὑπὲρ τῆς πόλεως (ἢ τῆς ἁγίας μονῆς, ἢ τῆς χώρας) ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ Ἀντιφώνου α'. Μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκα-

στον καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτός, Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ᾿ ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ᾿ ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

Ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ψάλλεται παρὰ τῶν Ψαλτῶν τὸ πρῶτον Ἀντίφωνον, ἢ ὁ α΄ ψαλμὸς τῶν Τυπικῶν, κατὰ τὴν τυπικὴν διάταξιν· ὧν ψαλλομένων, ὁ Διάκονος προσκυνήσας, μεθίσταται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ ἀπελθὼν ἵσταται ἐνώπιον τῆς Εἰκόνος τῆς Θεοτόκου, βλέπων πρὸς τὴν τοῦ Χριστοῦ Εἰκόνα, κρατῶν καὶ τὸ Ὡράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός.

Μετὰ τὴν συμπλήρωσιν τοῦ Ἀντιφώνου, ἐλθὼν ὁ Διάκονος, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ καὶ προσκυνήσας, λέγει·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ Ἀντιφώνου β'. Μυστικῶς.

Κύριε, ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου ἐν εἰρήνῃ διαφύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς, ὁ Θεός, τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ψάλλεται ὁμοίως παρὰ τῶν Ψαλτῶν τὸ β' Ἀντίφωνον ἢ ὁ β' ψαλμὸς τῶν Τυπικῶν· ὁ δὲ Διάκονος ὁμοίως ποιεῖ, ὡς καὶ ἐν τῷ προτέρῳ Ἀντιφώνῳ.

Καὶ εἰς τὸ τέλος τοῦ Ἀντιφώνου, ἢ τοῦ ψαλμοῦ τῶν Τυπικῶν, ἐπισυνάπτεται τὸ

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Μετὰ τὴν συμπλήρωσιν τοῦ Ὕμνου Ὁ μονογενής, λέγει ὁ Διάκονος τὴν μικρὰν συναπτήν·

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Καὶ εἰσέρχεται ὁ Διάκονος εἰς τὸ ἱερὸν Βῆμα διὰ τοῦ νοτίου μέρους.

Εὐχὴ Ἀντιφώνου γ΄. Μυστικῶς.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δύο καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Ἐκφώνησις·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ψαλλομένου δὲ παρὰ τῶν Ψαλτῶν τοῦ τρίτου Ἀντιφώνου ἢ τῶν Μακαρισμῶν, ὅταν ἔλθωσιν εἰς τὸ Δόξα, ὁ Ἱερεὺς καὶ ὁ Διάκονος, στάντες ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, ποιοῦσι προσκυνήματα τρία. Καὶ ἀνοίγονται αἱ ἅγιαι Θύραι.

Εἶτα λαβὼν ὁ Ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον, δίδωσιν αὐτὸ τῷ Διακόνῳ. Καὶ οὕτως ἐξελθόντες διὰ τοῦ βορείου μέρους, προπορευομένων αὐτῶν λαμπάδων, ποιοῦσι τὴν μικρὰν Εἴσοδον.

Καὶ στάντες ἐν τῷ συνήθει τόπῳ, κλίνουσιν ἀμφότεροι τὰς κεφαλάς. Καὶ τοῦ Διακόνου εἰπόντος ἠρέμα· Τοῦ Κυρίου δεηθῶμεν, λέγει ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην.

Εὐχὴ τῆς Εἰσόδου. Μυστικῶς.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς Ἀγγέλων καὶ Ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων Ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τῆς Εὐχῆς δὲ τελεσθείσης, λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα, δεικνύων πρὸς ἀνατολὰς τῇ δεξιᾷ, κρατῶν ἅμα καὶ τὸ Ὠράριον τοῖς τρισὶ δακτύλοις·

Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν Εἴσοδον.

Καὶ ὁ Ἱερεὺς εὐλογῶν λέγει μυστικῶς·

Εὐλογημένη ἡ Εἴσοδος τῶν Ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶθ᾽ οὕτως ὁ Διάκονος προσφέρει τῷ Ἱερεῖ τὸ Εὐαγγέλιον, καὶ ἀσπάζεται τοῦτο ὁ Ἱερεύς, τοῦ δὲ Διακόνου ἅμα ἀσπαζομένου τὴν δεξιὰν τοῦ Ἱερέως.

Πληρωθέντος δὲ τοῦ Δοξαστικοῦ τῶν Μακαρισμῶν, ἢ τοῦ τρίτου Ἀντιφώνου, ἔρχεται ὁ Διάκονος εἰς τὸ μέσον, καὶ στὰς ἔμπροσθεν τοῦ Ἱερέως, ἀνυψοῖ μικρὸν τὰς χεῖρας, δεικνύων τὸ ἅγιον Εὐαγγέλιον, καὶ ποιῶν δι᾽ αὐτοῦ τύπον σταυροῦ, λέγει μεγαλοφώνως·

Σοφία· ὀρθοί.

Καὶ ψάλλεται τὸ Εἰσοδικόν·

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ· σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰ δ' ἔστι Κυριακή, λέγεται·

... ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Ἐν ταῖς Δεσποτικαῖς Ἑορταῖς, ψάλλεται τὸ Εἰσοδικὸν τῆς Ἑορτῆς.

Εἶτα προσκυνήσας αὐτός τε καὶ ὁ Ἱερεὺς κατόπισθεν αὐτοῦ, εἰσέρχονται εἰς τὸ ἅγιον Βῆμα διὰ τῶν Πυλῶν Βασιλικῶν, καὶ ὁ μὲν Διάκονος ἀποτίθησι τὸ ἅγιον Εὐαγγέλιον ἐπὶ τῆς ἁγίας Τραπέζης.

Οἱ δὲ Ψάλται λέγουσι τὰ συνήθη τροπάρια.

Ὁ δὲ Ἱερεὺς λέγει τὴν Εὐχὴν ταύτην.

Εὐχὴ τοῦ Τρισαγίου Ὕμνου. Μυστικῶς.

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν Ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου Δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμήσας, ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν, ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου Θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτός, Δέσποτα, πρόσδεξαι

καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον. Ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν Ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων.

Καὶ ὅταν ἔλθωσιν εἰς τὸ ὕστερον Τροπάριον, λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα, κλίνων ἅμα τὴν κεφαλήν, κρατῶν καὶ τὸ Ὠράριον ἐν τῇ χειρὶ τοῖς τρισὶ δακτύλοις·

Εὐλόγησον, δέσποτα, τὸν καιρὸν τοῦ Τρισαγίου.

Καὶ ὁ Ἱερεύς, σφραγίζων αὐτόν, ἐκφωνεῖ·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί.

Καὶ ἔρχεται ὁ Διάκονος ἐγγὺς τῶν ἁγίων Θυρῶν, καὶ ἐπάγει, λέγων πρὸς τοὺς ἐκτὸς μεγαλοφώνως·

Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Καὶ ψάλλεται τὸ Τρισάγιον·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. Τρίς.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Καὶ πάλιν·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἔν τισιν Ἑορταῖς, ἀντὶ τοῦ Τρισαγίου ψάλλεται·

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.

Τῇ δὲ τρίτῃ Κυριακῇ τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς, ἐν τῇ Ἑορτῇ τῆς παγκοσμίου Ὑψώσεως τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, ψάλλεται·

Τὸν Σταυρόν σου προσκυνοῦμεν, Δέσποτα, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν.

Ψαλλομένου δὲ τοῦ Τρισαγίου, λέγουσι καὶ αὐτοί, ὅ τε Ἱερεὺς καὶ ὁ Διάκονος, τὸ Τρισάγιον, ποιοῦντες ὁμοῦ καὶ προσκυνήματα τρία ἔμπροσθεν τῆς ἁγίας Τραπέζης.

Εἶτα λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα·

Κέλευσον, δέσποτα.

Καὶ ἀπέρχονται εἰς τὴν Καθέδραν. Καὶ ὁ Ἱερεὺς λέγει ἀπερχόμενος·

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ὁ δὲ Διάκονος·

Εὐλόγησον, δέσποτα, τὴν ἄνω Καθέδραν.

Καὶ ὁ Ἱερεύς·

Εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ Τρισαγίου, ὁ Διάκονος, ἐλθὼν ἔμπροσθεν τῶν ἁγίων Θυρῶν, λέγει·

Πρόσχωμεν.

Καὶ ὁ Ἀναγνώστης ἀπαγγέλλει τοὺς στίχους τοῦ Προκειμένου.

Καὶ ὁ Διάκονος αὖθις·

Σοφία.

Καὶ ὁ Ἀναγνώστης λέγει τὴν ἐπιγραφὴν τοῦ Ἀποστόλου.

Καὶ αὖθις ὁ Διάκονος·

Πρόσχωμεν.

Καὶ τοῦ Ἀποστόλου πληρωθέντος, λέγει ὁ Ἱερεύς·

Εἰρήνη σοι τῷ ἀναγινώσκοντι.

Τοῦ δὲ Ἀλληλούϊα ψαλλομένου μετὰ τῶν στίχων παρὰ τοῦ Ἀναγνώστου, λαβὼν ὁ Διάκονος τὸ Θυμιατήριον καὶ τὸ θυμίαμα, πρόσεισι τῷ Ἱερεῖ, καὶ λαβὼν εὐλογίαν παρ' αὐτοῦ, καὶ χαράξας σταυρόν, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν γύρωθεν, καὶ τὸ Ἱερατεῖον ὅλον, τὰς Δεσποτικὰς Εἰκόνας, καὶ τὸν Ἱερέα. Καὶ ὁ Ἱερεύς, ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, λέγει τὴν Εὐχὴν ταύτην μυστικῶς.

Εὐχὴ πρὸ τοῦ Εὐαγγελίου.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμούς, εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δὲ Διάκονος, τὸ Θυμιατήριον ἀποθέμενος, ἔρχεται πρὸς τὸν Ἱερέα· καὶ ὑποκλίνας αὐτῷ τὴν κεφαλήν, λαμβάνει ἐκ τῶν χειρῶν τοῦ Ἱερέως τὸ ἱερὸν Εὐαγγέλιον, κρατῶν καὶ τὸ Ὡράριον σὺν τῷ ἁγίῳ Εὐαγγελίῳ ἄκροις τοῖς δακτύλοις, καὶ λέγει·

Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν τοῦ ἁγίου

Ἀποστόλου καὶ Εὐαγγελιστοῦ τοῦδε. (Ματθαίου, ἢ Μάρκου, ἢ Λουκᾶ, ἢ Ἰωάννου.)

Ὁ δὲ Ἱερεύς, σφραγίζων αὐτόν, λέγει·

Ὁ Θεὸς διὰ πρεσβειῶν τοῦ ἁγίου, ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ τοῦδε, δῴη σοι ῥῆμα τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ, εἰς ἐκπλήρωσιν τοῦ Εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ Διάκονος εἰπὼν τὸ Ἀμήν, καὶ προσκυνήσας τὸ ἅγιον Εὐαγγέλιον, αἴρει αὐτό. Καὶ ἐξελθὼν διὰ τῶν ἁγίων Θυρῶν, προπορευομένων αὐτοῦ λαμπάδων, ἔρχεται, καὶ ἵσταται ἐν τῷ ἄμβωνι ἢ ἐν τῷ τεταγμένῳ τόπῳ.

Ὁ δὲ Ἱερεὺς ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, καὶ βλέπων πρὸς δυσμάς, ἐκφωνεῖ·

Σοφία· ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Καὶ ὁ Διάκονος·

Ἐκ τοῦ κατὰ τόνδε (Ματθαῖον, ἢ Μάρκον, ἢ Λουκᾶν, ἢ Ἰωάννην) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ Χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ Ἱερεύς·

Πρόσχωμεν.

Καὶ πληρωθέντος τοῦ Εὐαγγελίου, λέγει ὁ Χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ ἀπελθὼν ὁ Διάκονος ἕως τῶν ἁγίων Θυρῶν, ἀποδίδωσι τὸ ἅγιον Εὐαγγέλιον τῷ Ἱερεῖ. Ὁ δὲ Ἱερεύς, δεχόμενος αὐτό, λέγει τῷ Διακόνῳ·

Εἰρήνη σοι τῷ εὐαγγελιζομένῳ.

Καὶ ἀσπασάμενος τὸ ἅγιον Εὐαγγέλιον, καὶ χαράξας μετ᾽ αὐτοῦ τύπον σταυροῦ πρὸς τὸν λαόν, ἐπιτίθησιν αὐτὸ ἐπὶ τῆς ἁγίας Τραπέζης.

Καὶ πάλιν κλείονται αἱ ἅγιαι Θύραι.

Ὁ δὲ Διάκονος, στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει τὴν Ἐκτενῆ, ψαλλόντων τῶν δύο χορῶν ἐναλλὰξ μετὰ πᾶσαν δέησιν τὸ Κύριε, ἐλέησον, τρίς.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας. Μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων· καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ μακαριωτάτου Πατριάρχου, (ἢ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου) ἡμῶν τοῦ δεῖνος, τοῦ τιμίου πρεσβυτερίου.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, διακόνων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως

ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν κατοικούντων ἐν τῇ πόλει (ἢ χώρᾳ) ταύτῃ (ἢ τῶν ἀδελφῶν τῆς ἁγίας μονῆς ταύτης).

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τῆς ἁγίας ἐκκλησίας (ἢ μονῆς) ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ, ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ἐκφώνησις·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος, τῶν Χορῶν ἐναλλὰξ ἀποκρινομένων τὸ Κύριε, ἐλέησον.

Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ.

Οἱ πιστοί, ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν.

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.

Κατηχήσῃ αὐτοὺς τῷ λόγῳ τῆς ἀληθείας.

Ἀποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης.

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ Κατηχουμένων, μυστικῶς λεγομένη ὑπὸ τοῦ Ἱερέως, πρὸ τοῦ ἁπλῶσαι τὸ Εἰλητόν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα· καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ· καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Ἐκφώνησις·

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ἐξαπλοῖ ὁ Ἱερεὺς τὸ Εἰλητόν.

Καὶ ὁ Διάκονος·

Ὅσοι κατηχούμενοι, προέλθετε. Οἱ κατηχούμενοι, προέλθετε. Ὅσοι κατηχούμενοι, προέλθετε. Μή

τις τῶν κατηχουμένων. Ὅσοι πιστοί, ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Σοφία.

Εὐχὴ Πιστῶν πρώτη, μυστικῶς λεγομένη ὑπὸ τοῦ Ἱερέως, μετὰ τὸ ἐξαπλῶσαι τὸ Εἰλητόν.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν Δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Πρόσδεξαι, ὁ Θεός, τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις, καὶ ἱκεσίας, καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου· καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ Ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ· ἵνα, εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

Ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Σοφία.

Εὐχὴ Πιστῶν δευτέρα, μυστικῶς λεγομένη ὑπὸ τοῦ Ἱερέως.

Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν, καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ δῴης ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου Θυσιαστηρίου. Χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως, καὶ συνέσεως πνευματικῆς. Δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύουσί σοι, ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων, καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

Ἐκφώνησις·

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ μὲν Διάκονος εἰσέρχεται εἰς τὸ ἱερὸν Βῆμα διὰ τοῦ νοτίου κλίτους, καὶ ἀνοίγονται αἱ ἅγιαι Θύραι.

Ὁ δὲ πρῶτος Χορὸς ἄρχεται ψάλλειν τὸν Χερουβικὸν Ὕμνον ἀργῶς καὶ μετὰ μέλους·

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν.

Τοῦ Χερουβικοῦ Ὕμνου ᾀδομένου, λέγει ὁ Ἱερεὺς μυστικῶς τὴν Εὐχὴν ταύτην.

Εὐχὴ τοῦ Χερουβικοῦ Ὕμνου.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς, προσέρχεσθαι, ἢ προσεγγίζειν, ἢ λειτουργεῖν σοι, Βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερόν, καὶ αὐταῖς ταῖς ἐπουρανίαις Δυνάμεσιν. Ἀλλ᾽ ὅμως, διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων. Σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος καὶ ἐν Ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· ἐπίβλεψον ἐπ᾽ ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου· καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, ἐνδεδυμένον

τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ Τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου Σῶμα καὶ τὸ τίμιον Αἷμα. Σοὶ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου· ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος, καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ Χερουβικοῦ ᾀδομένου, λαβὼν ὁ Διάκονος τὸν Θυμιατόν, καὶ θυμίαμα βαλών, καὶ χαράξας σταυρόν, πρόσεισι τῷ Ἱερεῖ. Καὶ λαβὼν εὐλογίαν παρ' αὐτοῦ, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν γύρωθεν καὶ τὸ Ἱερατεῖον ὅλον, τὸν Ἱερέα, ὕστερον δὲ τὰς Δεσποτικὰς Εἰκόνας, καὶ τὸν λαὸν ἅπαντα. Λέγει δὲ καὶ τὸν πεντηκοστὸν Ψαλμὸν καὶ τροπάρια κατανυκτικὰ ὅσα καὶ βούλεται. Καὶ εἰσελθὼν εἰς τὸ Ἱερόν, ἀποτίθησι τὸ Θυμιατήριον.

Ἱστάμενος δὲ ὁ Ἱερεὺς μετὰ τοῦ Διακόνου πρὸ τῆς ἁγίας Τραπέζης, λέγουσι τὸν Χερουβικὸν Ὕμνον.

Ὁ Ἱερεύς·

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν.

Ὁ Διάκονος·

Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Εἶτα ἀσπάζονται τὴν ἁγίαν Τράπεζαν· αὖθις δὲ προσκυνήσαντες, στρέφονται πρὸς τὸν λαὸν καὶ ὑποκλίνουσι τὰς αὐτῶν κεφαλάς, καὶ οὕτως ἀπέρχονται εἰς τὴν Πρόθεσιν, προπορευομένου τοῦ Διακόνου. Αὐτὸς δὲ θυμιάσας τὰ Ἅγια, καθ᾽ ἑαυτὸν εὐχόμενος, τρίς· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με, λέγει πρὸς τὸν Ἱερέα· Ἔπαρον, δέσποτα. Καὶ ὁ Ἱερεύς, ἄρας τὸν Ἀέρα, ἐπιτίθησιν ἐπὶ τῶν ὤμων αὐτοῦ, λέγων·

Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον.

Εἶτα τὸν ἅγιον Δίσκον κεκαλυμμένον λαβών, ἐπιβάλλει τῇ τοῦ Διακόνου κεφαλῇ, μετὰ πάσης προσοχῆς καὶ εὐλαβείας, ἔχοντος ἅμα τοῦ Διακόνου καὶ τὸ Θυμιατήριον ἐνὶ τῶν δακτύλων. Αὐτὸς δὲ ὁ Ἱερεὺς τὸ ἅγιον Ποτήριον ἀνὰ χεῖρας λαμβάνει. Εἶτα ἐξέρχονται διὰ τοῦ βορείου μέρους, προπορευομένων αὐτῶν λαμπάδων. Καὶ περιέρχονται τὸν Ναόν, ποιοῦντες τὴν Μεγάλην Εἴσοδον, καὶ λέγοντες·

Πάντων ἡμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ συμπληροῖ τὸν Χερουβικὸν Ὕμνον·

Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Εἰσελθὼν δὲ ὁ Διάκονος ἔνδον τῶν ἁγίων Θυρῶν, ἵσταται ἐν τοῖς δεξιοῖς. Καὶ μέλλοντος τοῦ Ἱερέως εἰσελθεῖν, λέγει πρὸς αὐτὸν ὁ Διάκονος·

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ Ἱερεὺς πρὸς αὐτόν·

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Διακονίας (ἢ Ἱεροδιακονίας) σου ἐν τῇ βασιλείᾳ αὐτοῦ,

πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ μὲν Ἱερεὺς ἀποτίθησι τὸ ἅγιον Ποτήριον ἐπὶ τῆς ἁγίας Τραπέζης· τὸν δὲ ἅγιον Δίσκον λαβὼν ἀπὸ τῆς τοῦ Διακόνου κεφαλῆς, ἀποτίθησι καὶ αὐτὸν ἐπὶ τῆς ἁγίας Τραπέζης δεξιόθεν.

Καὶ πάλιν ἀποκλείονται αἱ ἅγιαι Θύραι καὶ τὸ καταπέτασμα.

Εἶτα ὁ Ἱερεὺς τὰ μὲν καλύμματα ἄρας ἀπό τε τοῦ ἱεροῦ Δίσκου καὶ τοῦ ἁγίου Ποτηρίου, τίθησιν αὐτὰ ἐν ἑνὶ μέρει τῆς ἁγίας Τραπέζης· τὸν δὲ Ἀέρα ἀπὸ τῶν τοῦ Διακόνου ὤμων λαβών, καὶ θυμιάσας, σκεπάζει δι' αὐτοῦ τὰ Ἅγια, λέγων·

Ὁ εὐσχήμων Ἰωσήφ, ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας, ἀπέθετο.

Καὶ λαβὼν τὸ Θυμιατήριον ἐκ τῶν τοῦ Διακόνου χειρῶν, θυμιᾷ τὰ Ἅγια τρίς, λέγων·

Τότε ἀνοίσουσιν ἐπὶ τὸ Θυσιαστήριόν σου μόσχους. Τρίς.

Καὶ ἀποδοὺς τὸ Θυμιατήριον, καὶ χαλάσας τὸ Φελώνιον, κλίνας τε τὴν κεφαλήν, λέγει πρὸς τὸν Διάκονον·

Μνήσθητί μου, ἀδελφὲ καὶ συλλειτουργέ.

Καὶ ὁ Διάκονος πρὸς αὐτόν·

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Καὶ ὁ Ἱερεὺς πρὸς τὸν Διάκονον·

Εὖξαι ὑπὲρ ἐμοῦ, συλλειτουργέ μου.

Καὶ ὁ Διάκονος·

Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

Καὶ ὁ Ἱερεύς·

Αὐτὸ τὸ Πνεῦμα συλλειτουργήσει ἡμῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Εἶτα ὁ Διάκονος, ὑποκλίνας καὶ αὐτὸς τὴν κεφαλήν, κρατῶν ἅμα καὶ τὸ Ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς, λέγει πρὸς τὸν Ἱερέα·

Μνήσθητί μου, δέσποτα ἅγιε.

Καὶ ὁ Ἱερεύς·

Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἐπειπὼν ὁ Διάκονος τὸ Ἀμήν, καὶ ἀσπασάμενος τὴν τοῦ Ἱερέως δεξιάν, ἐξέρχεται· καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Οἱ Χοροὶ ἐναλλάξ· Κύριε, ἐλέησον.

Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ τῆς Προσκομιδῆς, ὑπὸ τοῦ Ἱερέως λεγομένη μυστικῶς, μετὰ τὴν ἐπὶ τῆς ἁγίας Τραπέζης τῶν θείων δώρων ἀπόθεσιν.

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ σου Θυσιαστηρίῳ· καὶ ἱκανω-

σον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικάς, ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ Χοροὶ ἐναλλάξ· Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυ-

τούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ἐκφώνησις·

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Ὁ Χορός· Πατέρα, Υἱόν, καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ Ἱερεὺς προσκυνεῖ τρίς, λέγων μυστικῶς·

Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου· Κύριος στερέωμά μου καὶ καταφυγή μου, καὶ ῥύστης μου.

Καὶ ἀσπάζεται τὰ Ἅγια οὕτως, ὡς εἰσὶ κεκαλυμμένα, πρῶτον μὲν τὸν ἅγιον Δίσκον, εἶτα δὲ τὸ ἅγιον Ποτήριον καὶ τὴν ἁγίαν Τράπεζαν ἔμπροσθεν αὐτοῦ. Ὁμοίως δὲ καὶ ὁ Διάκονος συμπροσκυνεῖ, ἐν ᾧ ἵσταται τόπῳ, καὶ ἀσπάζεται τὸ Ὠράριον αὐτοῦ, ἔνθα ἐστὶ σταυροῦ τύπος, καὶ οὕτως ἐκφωνεῖ·

Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Καὶ ἀνοίγεται τὸ καταπέτασμα.

Ὁ δὲ Ἱερεύς, ἄρας τὸν Ἀέρα ἐπάνω τῶν Δώρων, κινεῖ αὐτὸν ἀνοικτόν.

Ὁ λαός, ἤ, εἰ ἔθος, ὁ Προεστώς·

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον, Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ Φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα,οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης, κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ Ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν Προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Ὁ Διάκονος·

Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου· πρόσχωμεν, τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

Ὁ Χορός· Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ὁ Διάκονος προσκυνήσας, εἰσέρχεται εἰς τὸ ἅγιον Βῆμα, διὰ τοῦ νοτίου κλίτους.

Ὁ δὲ Ἱερεύς, ἐπάρας τὸν Ἀέρα ἀπὸ τῶν ἁγίων, ἀποτίθησιν αὐτὸν ἐν ἑνὶ τόπῳ. Εἶτα στραφεὶς πρὸς τὸν λαόν, ἐκφωνεῖ·

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν (καὶ εὐλογεῖ τὸν λαόν).

Ὁ Χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ Ἱερεύς, ὑψῶν ἀμφοτέρας τὰς χεῖρας·

Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ Χορός· Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ Ἱερεύς, στραφεὶς πρὸς ἀνατολάς·

Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ Χορός· Ἄξιον καὶ δίκαιόν ἐστιν προσκυνεῖν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Καί, τοῦ Διακόνου ῥιπίζοντος τὰ Ἅγια εὐλαβῶς, ἐπεύχεται ὁ Ἱερεὺς μυστικῶς.

Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ ὁ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν, σύ, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες καὶ παρα-

πεσόντας ἀνέστησας πάλιν· καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι, καὶ τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ Πνεύματί σου τῷ Ἁγίῳ, ὑπὲρ πάντων, ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες Ἀρχαγγέλων καὶ μυριάδες Ἀγγέλων, τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά,

Ἐκφώνως·

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα·

Ἐνταῦθα λαβὼν ὁ Διάκονος τὸν Ἀστερίσκον ἐκ τοῦ ἁγίου Δίσκου, ποιεῖ σταυροῦ τύπον ἐπάνω αὐτοῦ· καὶ ἀσπασάμενος αὐτόν, ἀποτίθησιν ἐν μέρει τινί.

Ὁ Χορός· Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μετὰ τούτων, καὶ ἡμεῖς τῶν μακαρίων Δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ, καὶ πανάγιος, σύ, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Ἅγιος εἶ, καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν

Υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. Ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσίν, εὐχαριστήσας, καὶ εὐλογήσας (καὶ εὐλογεῖ), ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών·

Τότε κλίνων ὁ Ἱερεὺς τὴν κεφαλήν, καὶ αἴρων τὴν δεξιὰν αὐτοῦ μετ᾽ εὐλαβείας, λέγει ἐκφώνως, τοῦ Διακόνου δεικνύοντος αὐτῷ τὸν ἅγιον Δίσκον, κρατοῦντος καὶ τὸ Ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς·

Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ Σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορός· Ἀμήν.

Εἶτα, σφραγίζει ὁ Ἱερεὺς τὸ ἅγιον Ποτήριον, λέγων μυστικῶς·

Ὁμοίως καὶ τὸ Ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων·

Καὶ κλίνων τὴν κεφαλήν, καὶ τὴν χεῖρα ἔχων ἄνωθεν μετ᾽ εὐλαβείας, λέγει ἐκφώνως, τοῦ Διακόνου δεικνύοντος αὐτῷ τὸ ἅγιον Ποτήριον, κρατοῦντος καὶ τὸ Ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς·

Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ Αἷμά μου,
τὸ τῆς καινῆς Διαθήκης,
τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον
εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορός· Ἀμήν.

Καὶ ἐπεύχεται ὁ Ἱερεὺς μυστικῶς.

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων· τοῦ Σταυροῦ, τοῦ Τάφου, τῆς τριημέρου Ἀναστάσεως, τῆς εἰς οὐρανοὺς Ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας.

Ἐκφώνως·

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν, κατὰ πάντα, καὶ διὰ πάντα.

Ὁ Χορός· Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν· καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν· κατάπεμψον τὸ Πνεῦμά σου τὸ Ἅγιον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα Δῶρα ταῦτα.

Καὶ ὁ Διάκονος ἀποτίθησι τὸ Ῥιπίδιον καὶ ἔρχεται ἐγγύτερον τῷ Ἱερεῖ· καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης.

Εἶτα τὴν κεφαλὴν ὑποκλίνας ὁ Διάκονος, καὶ δεικνύων σὺν τῷ Ὡραρίῳ τὸν ἅγιον Ἄρτον, λέγει μυστικῶς·

Εὐλόγησον, δέσποτα, τὸν ἅγιον Ἄρτον.

Καὶ ὁ Ἱερεὺς ἀνιστάμενος, σφραγίζει τὸν ἅγιον Ἄρτον, λέγων·

Καὶ ποίησον τὸν μὲν Ἄρτον τοῦτον, τίμιον Σῶμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος·

Ἀμήν.

Καὶ αὖθις ὁ αὐτός, δεικνύων σὺν τῷ Ὡραρίῳ τὸ ἅγιον Ποτήριον·

Εὐλόγησον, δέσποτα, τὸ ἅγιον Ποτήριον.

Καὶ ὁ Ἱερεὺς εὐλογῶν λέγει·

Τὸ δὲ ἐν τῷ Ποτηρίῳ τούτῳ, τίμιον Αἷμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος·

Ἀμήν.

Καὶ αὖθις ὁ Διάκονος, δεικνύων μετὰ τοῦ Ὡραρίου ἀμφότερα τὰ Ἅγια, λέγει·

Εὐλόγησον, δέσποτα, τὰ ἀμφότερα.

Ὁ δὲ Ἱερεύς, εὐλογῶν ἀμφότερα τὰ Ἅγια, λέγει·

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ Ἁγίῳ.

Ὁ Διάκονος·

Ἀμήν, ἀμήν, ἀμήν.

Καὶ τὴν κεφαλὴν ὑποκλίνας τῷ Ἱερεῖ, καὶ εἰπὼν τὸ Μνήσθητί μου, ἅγιε δέσποτα, τοῦ ἁμαρτωλοῦ, ἵσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, καὶ λαβὼν τὸ Ῥιπίδιον, ῥιπίζει τὰ Ἅγια, ὡς καὶ τὸ πρότερον.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ Ἁγίου σου Πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρίμα ἢ εἰς κατάκριμα.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Κηρύκων, Εὐαγγελιστῶν,

Μαρτύρων, Ὁμολογητῶν, Ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

Καὶ λαβὼν τὸν θυμιατόν, θυμιᾷ τρὶς ἐνώπιον τῆς Ἁγίας Τραπέζης, λέγων ἐκφώνως·

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Καὶ ἐπιδίδωσι τὸ θυμιατήριον τῷ Διακόνῳ, ὅστις θυμιᾷ τὴν ἁγίαν Τράπεζαν γύρωθεν, καὶ μνημονεύει ὧν βούλεται ζώντων καὶ τεθνεώτων.

Ὁ Χορός· Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ἐν ταῖς Δεσποτικαῖς ἢ Θεομητορικαῖς Ἑορταῖς καὶ ἐν ταῖς Ἀποδόσεσι αὐτῶν ψάλλεται ὁ Εἱρμὸς τῆς ἐννάτης Ὠδῆς αὐτῶν.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου, προδρόμου καὶ Βαπτιστοῦ, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἁγίου τοῦ δεῖνος οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός.

Καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

Ἐνταῦθα μνημονεύει ὁ Ἱερεὺς ὧν θέλει τεθνεώτων.

Καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

Ἔτι παρακαλοῦμέν σε· μνήσθητι, Κύριε, πάσης Ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ Πρεσβυτερίου, τῆς ἐν Κυρίῳ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας, καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων, ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Ἐκφώνως·

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ παναγιωτάτου Πατρὸς ἡμῶν τοῦ δεῖνος Πάπα Ῥώμης, καὶ τοῦ μακαριωτάτου Πατριάρχου ἡμῶν τοῦ δεῖνος [πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου ἡμῶν τοῦ δεῖνος], οὓς χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις, ἐν εἰρήνῃ, σώους, ἐντίμους, ὑγιεῖς, μακροημερεύοντας, καὶ ὀρθοτομοῦντας τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ Διάκονος, πρὸς τῇ Θύρᾳ στάς, μνημονεύει τῶν ζώντων· εἶτα δὲ ἐκφωνεῖ·

Καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια Δῶρα ταῦτα, εὐλαβεστάτου Ἱερέως τοῦ δεῖνος. Ὑπὲρ σω-

τηρίας τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, σωτηρίας τε καὶ βοηθείας τοῦ περιεστῶτος λαοῦ, καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν.

Ὁ Χορός· Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς·

Μνήσθητι, Κύριε, τῆς πόλεως (ἢ χώρας ἢ μονῆς) ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων· καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

Ἐκφώνως·

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ στραφεὶς πρὸς τὸν λαόν, καὶ εὐλογῶν αὐτόν, λέγει ἐκφώνως·

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

Ὁ Χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ Διάκονος, λαβὼν καιρὸν παρὰ τοῦ Ἱερέως καὶ ἐξελθών, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Οἱ Χοροὶ ἐναλλάξ· Κύριε, ἐλέησον.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεὺς ἐπεύχεται μυστικῶς·

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε· καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν· Καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου, καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς Τραπέζης, μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος Ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ Χοροὶ ἐναλλάξ· Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεὺς ἐκφώνως·

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας ἀκατακρίτως τολμᾷν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν·

Ὁ λαός, ἢ εἰ ἔθος, ὁ Προεστώς·

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν

τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Χορός· Σοί, Κύριε.

Καὶ ἐπεύχεται ὁ Ἱερεὺς μυστικῶς·

Εὐχαριστοῦμέν σοι, Βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας, καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα. Αὐτός, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον, κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον, τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Ἐκφώνως·

Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ἐπεύχεται ὁ Ἱερεὺς μυστικῶς·

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου· καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών. Καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου, καὶ τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Εἶτα προσκυνεῖ ὁ Ἱερεύς, ὁμοίως καὶ ὁ Διάκονος ἐν ᾧ ἐστι τόπῳ, λέγοντες μυστικῶς τρίς·

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Ἐν τούτῳ δέ, ζώννυται ὁ Διάκονος τὸ Ὡράριον αὐτοῦ σταυροειδῶς.

Ὅταν δὲ ἴδῃ τὸν Ἱερέα ἐκτείνοντα τὰς χεῖρας, καὶ ἁπτόμενον τοῦ ἁγίου Ἄρτου, πρὸς τὸ ποιῆσαι τὴν ἁγίαν Ὕψωσιν, ἐκφωνεῖ·

Πρόσχωμεν.

Καὶ ὁ Ἱερεύς, ὑψῶν τὸν ἅγιον Ἄρτον, ἐκφωνεῖ·

Τὰ Ἅγια τοῖς Ἁγίοις.

Ὁ Χορός· Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καὶ ψάλλεται τὸ Κοινωνικὸν τῆς ἡμέρας, ἢ τῆς Ἑορτῆς.

Καὶ ἀνακλείεται τὸ καταπέτασμα.

Εἶτα εἰσέρχεται ὁ Διάκονος εἰς τὸ ἅγιον βῆμα διὰ τοῦ νοτίου κλίτους, καὶ στὰς ἐκ δεξιῶν τοῦ Ἱερέως κρατοῦντος τὸν ἅγιον Ἄρτον, λέγει·

Μέλισον, δέσποτα, τὸν ἅγιον Ἄρτον.

Ὁ δὲ Ἱερεύς, μελίζων αὐτὸν εἰς τέσσαρας μερίδας, μετὰ προσοχῆς καὶ εὐλαβείας, λέγει·

Μελίζεται καὶ διαμερίζεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζει.

Καὶ τίθησιν αὐτὰς ἐν τῷ ἁγίῳ Δίσκῳ σταυροειδῶς, οὕτως·

ΙΣ

ΝΙ ΚΑ

ΧΣ

Καὶ ὁ Διάκονος, δεικνύων σὺν τῷ Ὡραρίῳ τὸ ἅγιον Ποτήριον, λέγει·

Πλήρωσον, δέσποτα, τὸ ἅγιον Ποτήριον.

Ὁ δὲ Ἱερεύς, λαβὼν τὴν ἄνω κειμένην μερίδα, ποιεῖ σὺν αὐτῇ σταυρὸν ἐπάνω τοῦ ἁγίου Ποτηρίου, λέγων·

Πλήρωμα πίστεως Πνεύματος Ἁγίου.

Καὶ οὕτως ἐμβάλλει αὐτὴν εἰς τὸ ἅγιον Ποτήριον.

Ὁ Διάκονος·

Ἀμήν.

Καὶ δεχόμενος τὸ Ζέον, λέγει πρὸς τὸν Ἱερέα·

Εὐλόγησον, δέσποτα, τὸ Ζέον.

Ὁ δὲ Ἱερεὺς εὐλογεῖ, λέγων·

Εὐλογημένη ἡ ζέσις τῶν Ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ὁ Διάκονος ἐκχέει τοῦ Ζέοντος τὸ ἀρκοῦν σταυροειδῶς ἔνδον τοῦ ἁγίου Ποτηρίου, λέγων·

Ζέσις πίστεως, πλήρης Πνεύματος Ἁγίου.

Καὶ ἀποθέμενος τὸ Ζέον, ἵσταται μικρὸν ἄποθεν.

Ὁ δὲ Ἱερεύς, κλίνας κάτω τὴν κεφαλήν, προσεύχεται λέγων·

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον Σῶμά σου, καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον Αἷμά σου. Δέομαι οὖν σου· ἐλέησόν με, καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου Μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Εἶτα·

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Καί, εἰ βούλεται·

Κύριε, οὐκ εἰμὶ ἄξιος, ἵνα ὑπὸ τὴν ῥυπαρὰν στέγην τῆς ψυχῆς μου εἰσέλθῃς· ἀλλ' ὡς κατεδέξω ἐν σπηλαίῳ καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, καὶ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, καὶ τὴν ὁμοίαν μου πόρνην τὴν ἁμαρτωλὸν προσερχομένην σοι καταδεξάμενος, αὐτὸς καταξίωσον καὶ ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς, καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν τοῦ νεκροῦ καὶ λεπροῦ· καὶ ὡς οὐκ ἐβδελύξω τὸ στόμα τὸ ῥυπαρὸν τῆς πόρνης καταφιλούσης τοὺς ἀχράντους σου πόδας, οὕτω, Δέσποτα Θεέ μου, μὴ βδελύξῃ καὶ ἐμὲ τὸν ἁμαρτωλόν· ἀλλ' ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, ἀξίωσόν με κοινωνὸν γενέσθαι τοῦ παναγίου Σώματος καὶ Αἵματός σου.

Ὁ Θεὸς ἡμῶν, ἄνες, ἄφες, συγχώρησόν μοι τὰ παραπτώματά μου, ὅσα σοι ἥμαρτον, εἴτε ἐν γνώσει, εἴτε ἐν ἀγνοίᾳ, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ ἔπραξα· πάντα μοι συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος· ταῖς πρεσβείαις τῆς παναχράντου σου καὶ ἀειπαρθένου Μητρός, ἀκατακρίτως ἀξίωσόν με δέξασθαι τὸ τίμιον καὶ ἄχραντον Σῶμά σου, εἰς ἴασιν ψυχῆς καὶ σώματος. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ τελευταῖον τὸ

Μή μοι εἰς κρῖμα ἢ εἰς κατάκριμα γένοιτο ἡ μετάληψις τῶν ἁγίων σου μυστηρίων, Κύριε, ἀλλ' εἰς ἴασιν ψυχῆς καὶ σώματος.

Εἶτα λαβὼν μίαν μερίδα τοῦ ἁγίου Ἄρτου, λέγει·

Μεταδίδοταί μοι τῷ δεῖνι Ἱερεῖ τὸ τίμιον καὶ ἅγιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ οὕτω μεταλαμβάνει τοῦ ἁγίου Ἄρτου μετὰ φόβου καὶ πάσης ἀσφαλείας. Εἶτα λέγει·

Διάκονε, πρόσελθε.

Καὶ προσελθὼν ὁ Διάκονος, ποιεῖ μετάνοιαν εὐλαβῶς, αἰτῶν συγχώρησιν, καὶ λέγων·

Μετάδος μοι, δέσποτα, τὸ τίμιον καὶ ἅγιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ ὁ Ἱερεύς, κρατῶν τὸν ἅγιον Ἄρτον, δίδωσι τῷ Διακόνῳ ἐν τῇ παλάμῃ, λέγων·

Μεταδίδοταί σοι τῷ δεῖνι Διακόνῳ τὸ τίμιον καὶ ἅγιον καὶ ἄχραντον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Ὁ δὲ Διάκονος, ἀσπασάμενος τὴν μεταδιδοῦσαν αὐτῷ χεῖρα, ἀπέρχεται ὄπισθεν τῆς ἱερᾶς Τραπέζης, καὶ κλίνας τὴν κεφαλήν, μεταλαμβάνει τοῦ ἐν τῇ αὐτοῦ παλάμῃ.

Εἶτα, λαβὼν ὁ Ἱερεὺς τὸ ἅγιον Ποτήριον μετὰ τοῦ Καλύμματος, λέγει·

Ἔτι μεταδίδοταί μοι τῷ δεῖνι Ἱερεῖ τὸ τίμιον καὶ ἅγιον Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ μεταλαβὼν τρὶς ἐξ αὐτοῦ, καὶ ἀποσπογγίσας, διὰ τοῦ ἐν χερσὶ Καλύμματος, τά τε χείλη καὶ τὸ ἅγιον Ποτήριον, ἀσπάζεται αὐτὸ λέγων·

Τοῦτο ἥψατο τῶν χειλέων μου, καὶ ἀφελεῖ τὰς ἀνομίας μου, καὶ τὰς ἁμαρτίας μου περικαθαριεῖ.

Εἶτα καλεῖ τὸν Διάκονον, λέγων·

Διάκονε, ἔτι πρόσελθε.

Ἐλθὼν δὲ ὁ Διάκονος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, σπογγίζει μετὰ τῆς Μούσης τὴν παλάμην αὐτοῦ ἐπὶ τοῦ ἁγίου Δίσκου μετὰ προσοχῆς, λέγων ἅμα·

Ἔτι προσέρχομαι τῷ ἀθανάτῳ Βασιλεῖ. Μετάδος μοι, δέσποτα, τὸ τίμιον καὶ ἅγιον Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ ὁ Ἱερεύς, μεταδιδοὺς αὐτῷ τρὶς ἐκ τοῦ ἁγίου Ποτηρίου, λέγει·

Ἔτι μεταδίδοταί σοι τῷ δεῖνι Διακόνῳ τὸ τίμιον καὶ ἅγιον Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Μεταλαβόντος δὲ τοῦ Διακόνου, λέγει ὁ Ἱερεύς·

Τοῦτο ἥψατο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ.

Τότε, λαβὼν ὁ Διάκονος τὸν ἅγιον Δίσκον, ἐπάνω τοῦ ἁγίου Ποτηρίου, ἀποσπογγίζει τῷ ἁγίῳ Σπόγγῳ πάνυ καλῶς. Εἶτα μετὰ προσοχῆς καὶ εὐλαβείας σκεπάζει τὸ ἅγιον Ποτήριον τῷ Καλύμματι· ὁμοίως καὶ ἐπὶ τὸν ἅγιον Δίσκον ἀνατίθησι τὸν ἀστέρα καὶ τὰ καλύμματα.

Εἰ δὲ οἱ πιστοὶ μεταλαμβάνουσιν οὐ διὰ τῆς λαβίδος, ἀλλὰ διὰ τῆς χειρός, οὐκ ἀποσπογγίζει τὸν ἅγιον Δίσκον, ἀλλὰ ἐγκαταλείπει τὸν ἅγιον Ἄρτον καὶ τὰς μερίδας ἐπὶ τῷ Δίσκῳ οὐ κεκαλυμμένῳ. Ἐμβάλλει τὰς ὑπολειπομένας μερίδας ἐν τῷ ἁγίῳ Ποτηρίῳ, μετὰ τὴν κοινωνίαν τῶν πιστῶν.

Καὶ οὕτως ἀνοίγουσιν τὴν θύραν τοῦ ἁγίου Βήματος. Καὶ ὁ Διάκονος, προσκυνήσας ἅπαξ, λαμβάνει τὸ Ποτήριον μετ᾽ εὐλαβείας, καὶ ἔρχεται εἰς τὴν θύραν, καὶ ὑψῶν τὸ ἅγιον Ποτήριον, δείκνυσιν αὐτὸ τῷ λαῷ, λέγων·

Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.

Ὁ Χορός· Ἀμήν, ἀμήν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν.

Καὶ οἱ πιστοὶ προσέρχονται εἰς τὸ κοινωνεῖν. Ὁ δὲ Ἱερεύς, μεταδιδοὺς ἑκάστῳ, λέγει·

Μεταλαμβάνει ὁ δοῦλος (ἢ ἡ δούλη) τοῦ Θεοῦ καὶ ἐπιλέγει τὸ ὄνομα τὸ τίμιον καὶ ἅγιον Σῶμα καὶ Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν αὐτοῦ (ἢ αὐτῆς) ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Ἐν δὲ τῷ κοινωνεῖν τοὺς πιστούς, οἱ Χοροὶ ψάλλουσι χύμα, ἅπαξ ἢ πλεονάκις, κατὰ τὸν ἀριθμὸν τῶν κοινωνούντων, τὸ

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω καθάπερ ὁ Ἰούδας· ἀλλ᾽ ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Μετὰ τὴν θείαν μετάληψιν, ὁ Ἱερεὺς εὐλογεῖ τὸν λαόν, ἐπιλέγων ἐκφώνως·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ὁ Χορός· Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἐν ταῖς τοῦ Δεσπότου ἑορταῖς, ψάλλεται τὸ Τροπάριον τῆς ἑορτῆς.

Καὶ ἐπιστρέφουσιν ὅ τε Διάκονος καὶ ὁ Ἱερεύς, εἰς τὴν ἁγίαν Τράπεζαν· καὶ θυμιᾷ ὁ Ἱερεὺς τρίς, λέγων καθ᾽ ἑαυτόν·

Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Εἶτα λαβὼν τὸν ἅγιον Δίσκον, τίθησιν ἐπὶ τὴν κεφαλὴν τοῦ Διακόνου. Καὶ ὁ Διάκονος, λαβὼν αὐτὸν μετ' εὐλαβείας, θεωρῶν ἔξω πρὸς τὴν θύραν, οὐδὲν λέγων, ἀπέρχεται εἰς τὴν Πρόθεσιν, καὶ ἀποτίθησιν αὐτόν. Ὁ δὲ Ἱερεύς, προσκυνήσας, καὶ λαβὼν τὸ ἅγιον Ποτήριον, καὶ ἐπιστραφεὶς πρὸς τὴν θύραν, ὁρᾷ τὸν λαόν, λέγων μυστικῶς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν,

καὶ ἐκφώνως·

πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἀποτίθησι τὸ Ποτήριον εἰς τὴν Πρόθεσιν.

Ὁ Χορός· Ἀμήν. Καί, εἰ ἔθος·

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων, ἀθανάτων καὶ ἀχράντων σου μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ ἁγιασμῷ, ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Εἶτα, ὁ μὲν Διάκονος, ἐξελθὼν καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Ὀρθοί, μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων, ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικήν, καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτούς, καὶ ἀλλή-

λους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ δὲ Ἱερεὺς ἐπιλέγει μυστικῶς τὴν τῆς εὐχαριστίας Εὐχήν·

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων Μυστηρίων· ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν· στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας· φρούρησον ἡμῶν τὴν ζωήν· ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν Ἁγίων σου.

Ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς·

Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ Χορός· Ἐν ὀνόματι Κυρίου.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Εὐχὴ ὀπισθάμβωνος, ἐκφωνουμένη παρὰ τοῦ Ἱερέως ἔξω τοῦ βήματος·

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον

τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ, καὶ παντὶ τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθή, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. Τρίς.

Ταύτης δὲ τελεσθείσης, ὁ μὲν Ἱερεὺς εἰσέρχεται διὰ τῶν ἁγίων Θυρῶν· καὶ στραφεὶς πρὸς τὴν Πρόθεσιν, λέγει τὴν παροῦσαν εὐχήν·

Εὐχὴ λεγομένη μυστικῶς πρὸ τοῦ συστεῖλαι τὸν Διάκονον τὰ Ἅγια·

Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δὲ Διάκονος εἰσέλθει καὶ αὐτὸς διὰ τοῦ βορείου μέρους, καί, πρὸ τῆς θύρας στάς, ἐκφωνεῖ·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς, εὐλογῶν τὸν λαόν, λέγει·

Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθῃ ἐφ' ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ὁ Ἱερεύς·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ λαός, ἢ ὁ Ἀναγνώστης·

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον, τρίς. Δέσποτα ἅγιε, εὐλόγησον.

Ὁ Ἱερεύς, στραφεὶς πρὸς τὸν λαόν, ποιεῖ Ἀπόλυσιν.

Εἴπερ ἐστὶ Κυριακή· Ὁ ἀναστὰς ἐκ νεκρῶν, (εἰ δὲ μή·) Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ Μητρός, καὶ τὰ λοιπὰ κατὰ τὴν ἡμέραν· τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, τοῦ ἁγίου τῆς ἐκκλησίας καὶ τῆς ἡμέρας, τῶν ἁγίων καὶ θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁ δὲ Διάκονος συστέλλει τὰ Ἅγια μετὰ φόβου καὶ πάσης ἀσφαλείας, ὥστε μηδέν τι τῶν ἄγαν λεπτοτάτων ἐκπεσεῖν, ἢ καταλειφθῆναι. Καὶ ἀπονίπτεται τὰς χεῖρας ἐν τῷ συνήθει τόπῳ.

Ὁ δὲ Ἱερεύς, ἐξελθών, δίδωσι τῷ λαῷ τὸ ἀντίδωρον, λέγων ἑνὶ ἑκάστῳ·

Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθῃ ἐπὶ σέ.

Καὶ εἰσελθὼν εἰς τὸ ἅγιον Βῆμα, ἀποδύεται τὴν ἱερατικὴν στολήν, λέγων·

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Τὸ Τρισάγιον, καὶ τὰ λοιπά. Ἀπολυτίκιον τῆς ἡμέρας, εἰ θέλει, ἔπειτα τὸ Τροπάριον τοῦ Χρυσοστόμου·

Ἡ τοῦ στόματός σου* καθάπερ πυρσὸς* ἐκλάμψασα χάρις,* τὴν οἰκουμένην ἐφώτισεν·* ἀφιλαργυρίας τῷ κόσμῳ* θησαυροὺς ἐναπέθετο,* τὸ ὕψος ἡμῖν* τῆς ταπεινοφροσύνης ὑπέδειξεν·* ἀλλὰ σοῖς λόγοις παιδεύων,* Πάτερ Ἰωάννη Χρυσόστομε,* πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κύριε ἐλέησον, ιβʹ. Δόξα... Καὶ νῦν... Τὴν τιμιωτέραν...

Καὶ ποιεῖ Ἀπόλυσιν. Καὶ προσκυνήσας καὶ εὐχαριστήσας τῷ Θεῷ ἐπὶ πᾶσιν, ἐξέρχεται.

Τέλος τῆς θείας Λειτουργίας τοῦ Χρυσοστόμου.

ΑΙ
ΚΑΘΗΜΕΡΙΝΑΙ ΑΠΟΛΥΣΕΙΣ

Τῷ Σαββάτῳ ἑσπέρας καὶ τῇ Κυριακῇ, εἰς τὸν Ὄρθρον καὶ εἰς τὴν Λειτουργίαν·

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ Ἁγίου τῆς ἐκκλησίας καὶ τῆς ἡμέρας, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἰς τὴν Λειτουργίαν, ὅτε λέγεται ἡ τοῦ Χρυσοστόμου, μετὰ τοὺς Ἀποστόλους προστίθεται·

τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, κ. τ. λ. Ὅτε δὲ λέγεται ἡ τοῦ Μεγάλου Βασιλείου, προστίθεμεν· τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου, Ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας, τοῦ Μεγάλου, κ. τ. λ.

Ἐν τῇ Ἀπολύσει τῶν Προηγιασμένων, οὐδεὶς μνημονεύεται ὡς συντάκτης τῆς Λειτουργίας ταύτης.

Τῇ Κυριακῇ ἑσπέρας καὶ τῇ Δευτέρᾳ, εἰς τὸν Ὄρθρον καὶ εἰς τὴν Λειτουργίαν·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, προστασίαις τῶν τιμίων, ἐπουρανίων Δυνάμεων ἀσωμάτων, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, **τοῦ Ἁγίου τῆς ἐκκλησίας καὶ τῆς ἡμέρας,** τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς...

Τῇ Δευτέρᾳ ἑσπέρας καὶ τῇ Τρίτῃ πρωΐ·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων...

Τῇ Τρίτῃ ἑσπέρας καὶ τῇ Τετάρτῃ πρωΐ·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, ἱκεσίαις τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων...

Τῇ Τετάρτῃ ἑσπέρας καὶ τῇ Πέμπτῃ πρωΐ·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἐν

Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου Ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ...

Τῇ Πέμπτῃ ἑσπέρας καὶ τῇ Παρασκευῇ πρωΐ·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, ἱκεσίαις τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων...

Τῇ Παρασκευῇ ἑσπέρας καὶ τῷ Σαββάτῳ πρωΐ·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων, ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τοῦ Ἁγίου τῆς ἐκκλησίας καὶ τῆς ἡμέρας, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ αυται αἱ Ἀπολύσεις γίνονται μὲν καθ᾽ ἑκάστην ἡμέραν, ὅτε οὐκ ἔχομεν ἑορταζόμενον Ἅγιον· ὅτε δὲ ὑπάρχει τοιοῦτός τις, τότε οὐ γίνεται μνεία, τῇ μὲν Δευτέρᾳ, τῶν Οὐρανίων Δυνάμεων· τῇ δὲ Τρίτῃ, τοῦ Προδρόμου· τῇ Τετάρτῃ καὶ τῇ Παρασκευῇ, τοῦ Σταυροῦ· τῇ Πέμπτῃ, τοῦ ἁγίου Νικολάου· καὶ τῷ Σαββάτῳ, τῶν Ὁσίων καὶ τῶν Μαρτύρων.

ΑΙ ΑΠΟΛΥΣΕΙΣ

ΤΩΝ ΔΕΣΠΟΤΙΚΩΝ ΕΟΡΤΩΝ

λεγόμεναι εἰς τὸν Ἑσπερινόν, εἰς τὸν Ὄρθρον,

καὶ εἰς τὴν Λειτουργίαν, κατὰ τάξιν.

Εἰς τὴν τοῦ Χριστοῦ Γέννησιν·

Ὁ ἐν σπηλαίῳ γεννηθεὶς καὶ ἐν φάτνῃ ἀνακλιθείς, διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς...

Εἰς τὴν Περιτομήν·

Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν...

Τῶν ἁγίων Θεοφανείων·

Ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι ὑπὸ Ἰωάννου καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν...

Εἰς τὴν Ὑπαπαντήν·

Ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν...

Εἰς τὴν Μεταμόρφωσιν·

Ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθεὶς ἐν δόξῃ, ἐνώπιον τῶν ἁγίων αὐτοῦ Μαθητῶν καὶ Ἀποστόλων...

Τῇ Κυριακῇ τῶν Βαΐων·

Ὁ ἐπὶ πώλου καθεσθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν...

Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας, καὶ μέχρι τῆς Μεγάλης Πέμπτης·

Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον πάθος, διὰ τὴν ἡμῶν σωτηρίαν...

Τῇ Μεγάλῃ Πέμπτῃ·

Ὁ δι' ὑπερβάλλουσαν ἀγαθότητα ὁδὸν ἀρίστην τὴν ταπείνωσιν ὑποδείξας, ἐν τῷ νίψαι τοὺς πόδας τῶν Μαθητῶν, καὶ μέχρι Σταυροῦ καὶ Ταφῆς συγκαταβὰς ἡμῖν...

Εἰς τὴν ἀπόλυσιν τῶν ἁγίων Παθῶν·

Ὁ ἐμπτυσμούς, καὶ μάστιγας, καὶ κολαφισμούς, καὶ Σταυρόν, καὶ θάνατον ὑπομείνας, διὰ τὴν τοῦ κόσμου σωτηρίαν...

Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Παρασκευῇ·

Ὁ δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, τὰ φρικτὰ πάθη, καὶ τὸν ζωοποιὸν σταυρόν, καὶ τὴν ἑκούσιον ταφὴν σαρκὶ καταδεξάμενος...

Τῇ ἁγίᾳ Κυριακῇ τοῦ Πάσχα, καὶ πάσαις ταῖς Κυριακαῖς τοῦ χρόνου·

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

Τῇ Κυριακῇ τοῦ Θωμᾶ·

Ὁ τὸν θάνατον πατήσας καὶ τὸν Θωμᾶν πληροφορήσας...

Τῇ Πέμπτῃ τῆς Ἀναλήψεως·

Ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ᾽ ἡμῶν εἰς τοὺς οὐρανούς, καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός...

Τῇ Κυριακῇ τῆς Πεντηκοστῆς·

Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν οὐρανόθεν καταπέμψας τὸ πανάγιον Πνεῦμα ἐπὶ τοὺς ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους, Χριστός...

Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας·

Ὁ ἐκ τῶν πατρικῶν καὶ θεϊκῶν κόλπων κενώσας ἑαυτόν, καὶ ἐξ οὐρανοῦ ἐπὶ τῆς γῆς κατελθών, καὶ τὴν ἡμετέραν ὅλην ἀναλαβόμενος φύσιν, καὶ θεώσας αὐτήν· μετὰ δὲ ταῦτα εἰς οὐρανοὺς αὖθις ἀνελθών, καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός, τό τε θεῖον καὶ ἅγιον, καὶ ὁμοούσιον, καὶ ὁμοδύναμον, καὶ ὁμόδοξον, καὶ συναΐδιον Πνεῦμα καταπέμψας ἐπὶ τοὺς ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους, καὶ διὰ τούτου, φωτίσας μὲν αὐτούς, δι᾽ αὐτῶν δὲ πᾶσαν τὴν οἰκουμένην, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν,

ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων, πανευφήμων, θεοκηρύκων καὶ πνευματοφόρων Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

ΕΥΧΑΡΙΣΤΙΑ

ΜΕΤΑ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Δόξα σοι, ὁ Θεός. Δόξα σοι, ὁ Θεός. Δόξα σοι, ὁ Θεός.

Καὶ εὐθὺς τὰς ἑπομένας εὐχαριστηρίους Εὐχάς.

Εὐχαριστῶ σοι, Κύριε, ὁ Θεός μου, ὅτι οὐκ ἀπώσω με τὸν ἁμαρτωλόν, ἀλλὰ κοινωνόν με γενέσθαι τῶν Ἁγιασμάτων σου κατηξίωσας. Εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον μεταλαβεῖν τῶν ἀχράντων σου καὶ ἐπουρανίων Δωρεῶν κατηξίωσας. Ἀλλά, Δέσποτα φιλάνθρωπε, ὁ ὑπὲρ ἡμῶν ἀποθανών τε καὶ ἀναστάς, καὶ χαρισάμενος ἡμῖν τὰ φρικτὰ ταῦτα καὶ ζωοποιά σου Μυστήρια, ἐπ' εὐεργεσίᾳ καὶ ἁγιασμῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, δὸς γενέσθαι ταῦτα κἀμοὶ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς φωτισμὸν τῶν ὀφθαλμῶν τῆς καρδίας μου, εἰς εἰρήνην τῶν ψυχικῶν μου δυνάμεων, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς προσθήκην τῆς θείας σου χάριτος, καὶ τῆς σῆς βασιλείας οἰκείωσιν· ἵνα, ἐν τῷ ἁγιασμῷ σου δι'

αὐτῶν φυλαττόμενος, τῆς σῆς χάριτος μνημονεύω διαπαντός, καὶ μηκέτι ἐμαυτῷ ζῷ, ἀλλὰ σοὶ τῷ ἡμετέρῳ Δεσπότῃ καὶ εὐεργέτῃ. Καὶ οὕτω τοῦ τῆδε βίου ἀπάρας ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, εἰς τὴν ἀΐδιον καταντήσω ἀνάπαυσιν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, καὶ ἡ ἀπέραντος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄρρητον. Σὺ γὰρ εἶ τὸ ὄντως ἐφετόν, καὶ ἡ ἀνέκφραστος εὐφροσύνη τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ

Δέσποτα Χριστὲ ὁ Θεός, Βασιλεῦ τῶν αἰώνων καὶ δημιουργὲ τῶν ἁπάντων, εὐχαριστῶ σοι ἐπὶ πᾶσιν, οἷς παρέσχου μοι ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων καὶ ζωοποιῶν σου Μυστηρίων. Δέομαι οὖν σου, ἀγαθὲ καὶ φιλάνθρωπε· φύλαξόν με ὑπὸ τὴν σκέπην σου, καὶ ἐν τῇ τῶν πτερύγων σου σκιᾷ· καὶ δώρησαί μοι ἐν καθαρῷ συνειδότι, μέχρις ἐσχάτης μου ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν Ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. Σὺ γὰρ εἶ ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, ὁ δοτὴρ τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρί, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ

Ὁ δοὺς τροφήν μοι σάρκα σὴν ἑκουσίως,* ὁ πῦρ ὑπάρχων, καὶ φλέγων ἀναξίους,* μὴ δὴ καταφλέξῃς με, μή, Πλαστουργέ μου,* μᾶλλον δίελθε πρὸς

μελῶν μου συνθέσεις,* εἰς πάντας ἁρμούς, εἰς νεφρούς, εἰς καρδίαν.

Φλέξον δ' ἀκάνθας τῶν ὅλων μου πταισμάτων·* ψυχὴν κάθαρον, ἁγίασον τὰς φρένας·* τὰς ἰγνύας στήριξον, ὀστέοις ἅμα·* αἰσθήσεων φώτισον ἁπλῆν πεντάδα·* ὅλον με τῷ σῷ συγκαθήλωσον φόβῳ.

Ἀεὶ σκέπε, φρούρει τε, καὶ φύλαττέ με* ἐκ παντὸς ἔργου, καὶ λόγου ψυχοφθόρου.

Ἅγνιζε, καὶ κάθαρε, καὶ ῥύθμιζέ με·* κάλλυνε, συνέτιζε, καὶ φώτιζέ με·* δεῖξόν με σὸν σκήνωμα Πνεύματος μόνου,* καὶ μηκέτι σκήνωμα τῆς ἁμαρτίας·* ἵν' ὡς σὸν οἶκον εἰσόδῳ κοινωνίας* ὡς πῦρ με φεύγῃ πᾶς κακοῦργος, πᾶν πάθος.

Πρέσβεις φέρω σοι πάντας ἡγιασμένους,* τὰς ταξιαρχίας τε τῶν Ἀσωμάτων,* τὸν Πρόδρομόν σου, τοὺς σοφοὺς Ἀποστόλους,* πρὸς τοῖς δὲ σὴν ἄχραντον ἁγνὴν Μητέρα·* ὧν τὰς λιτάς, εὔσπλαγχνε, δέξαι, Χριστέ μου,* καὶ φωτὸς παῖδα τὸν σὸν ἔργασαι λάτριν.

Σὺ γὰρ ὑπάρχεις ἁγιασμὸς καὶ μόνος* ἡμῶν, ἀγαθέ, τῶν ψυχῶν καὶ λαμπρότης,* καὶ σοὶ πρεπόντως, ὡς Θεῷ καὶ Δεσπότῃ,* δόξαν ἅπαντες πέμπομεν καθ' ἡμέραν.

ΕΥΧΗ ΕΤΕΡΑ

Τὸ Σῶμά σου τὸ ἅγιον, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, γένοιτό μοι εἰς ζωὴν αἰώνιον, καὶ Αἷμά σου τὸ τίμιον εἰς ἄφεσιν ἁμαρτιῶν. Γένοιτο δέ μοι ἡ εὐχαριστία αὕτη εἰς χαράν, ὑγείαν καὶ εὐφροσύνην· καὶ ἐν τῇ φοβερᾷ καὶ δευτέρᾳ ἐλεύσει σου, ἀξίωσόν με τὸν ἁμαρτωλὸν στῆναι ἐκ δεξιῶν τῆς σῆς δόξης· πρεσβείαις τῆς παναχράντου σου Μητρός, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

ΑΝΩΝΥΜΟΥ

Εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Παναγία Δέσποινα, Θεοτόκε, τὸ φῶς τῆς ἐσκοτισμένης μου ψυχῆς, ἡ ἐλπίς, ἡ σκέπη, ἡ καταφυγή, ἡ παραμυθία, τὸ ἀγαλλίαμά μου, εὐχαριστῶ σοι, ὅτι ἠξίωσάς με τὸν ἀνάξιον κοινωνὸν γενέσθαι τοῦ ἀχράντου Σώματος, καὶ τοῦ τιμίου Αἵματος τοῦ Υἱοῦ σου. Ἀλλ' ἡ τεκοῦσα τὸ ἀληθινὸν φῶς, φώτισόν μου τοὺς νοητοὺς ὀφθαλμοὺς τῆς καρδίας· ἡ τὴν πηγὴν τῆς ἀθανασίας κυήσασα, ζωοποίησόν με τὸν τεθανατωμένον τῇ ἁμαρτίᾳ· ἡ τοῦ ἐλεήμονος Θεοῦ φιλεύσπλαγχνος Μήτηρ, ἐλέησόν με, καὶ δὸς κατάνυξιν καὶ συντριβὴν ἐν τῇ καρδίᾳ μου, καὶ ταπείνωσιν ἐν τοῖς διανοήμασί μου, καὶ ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν λογισμῶν μου. Καὶ ἀξίωσόν με, μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τῶν ἀχράντων Μυστηρίων τὸν ἁγιασμόν, εἰς ἴασιν ψυχῆς τε καὶ

σώματος· καὶ παράσχου μοι δάκρυα μετανοίας καὶ ἐξομολογήσεως, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου· ὅτι εὐλογημένη καὶ δεδοξασμένη ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.